# Lecţia 30. Participiul Perfect

1. ὁ ἑωρακὼς[1] ἐμὲ ἑώρακεν τὸν πατέρα· πῶς σὺ λέγεις· δεῖξον ἡμῖν τὸν πατέρα;
Arată

2. Ἐγένετο ἄνθρωπος, ἀπεσταλμένος[2] παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης·
A venit

3. τὸ γεγεννημένον[3] ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος

πνεῦμά ἐστιν.

4. καὶ ἐξεπλήσσοντο[4] ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν
Şi se mirau

ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς.

5. Καὶ εὐθὺς ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται Ἰούδας εἷς τῶν δώδεκα καὶ μετ᾽ αὐτοῦ ὄχλος

μετὰ μαχαιρῶν[5] καὶ ξύλων[6] παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.

6. οὔπω γὰρ ἦν βεβλημένος[7] εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.

7. Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς

πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε
adevărat

8. οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον·

ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.

9. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος[8] αὐτοῦ ἔρχονται οἱ ἱερεῖς

---

[1] ὁράω – a vedea
[2] ἀποστέλλω – a trimite.
[3] γεννάω – a naşte
[4] ἐκπλήσσω – a se mira
[5] μάχαιρα - sabie
[6] ξύλον - ciomag
[7] βάλλω – a arunca
[8] περιπατέω – a se plimba